eul_wid: fpk-aa

*Μνησιμάχος ὁ κωμικός* · Mnesimachus the Comic Poet

# Fragments on Pythagorean Sacrifice

*Ἀποσπάσματα περὶ Πυθαγορικῆς Θυσίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ὡς

book 1.2 Πυθαγοριστὶ θύομεν τῷ Λοξίᾳ, ἔμψυχον οὐδὲν ἐσθίοντες

book 1.3 παντελῶς.

book 2.1 εἰμὶ γὰρ Βοιώτιος, ὀλίγα μὲν ἄλλων δίκαια

book 2.2 ταῦτα

book 2.3 πολλὰ δ’ ἐσθίων.

book 3.1 [spk_β]ἀλλ’ ἀντιβολῶ ς’ ἐπίταττέ μοι μὴ πόλλ’ ἄγαν, μηδ’ ἄγρια λίαν μηδ’ ἐπηργυρωμένα, μέτρια δέ γ’ ὡς θείῳ σεαυτοῦ. Β. πῶς ἔτι μετριώτερ’, ὦ δαιμόνι’; Α. ὅπως; σύντεμνε καὶ[ln_5]ἐπεξαπάτα με. τοὺς μὲν ἰχθῦς μοι κάλει ἰχθύδι’· ὄψον δ’ ἂν λέγῃς ἕτερον, κάλει ὀψάριον. ἥδιον γὰρ ἀπολοῦμαι

book 3.2 πολύ.

book 4.1 βαῖν’ ἐκ θαλάμων κυπαρισσορόφων ἔξω, Μάνη· στεῖχ’ εἰς ἀγορὰν

book 4.2 πρὸς

book 4.3 τοὺς Ἑρμᾶς, οὗ προσφοιτῶς’ οἱ φύλαρχοι,[ln_5]τούς

book 4.4 τε μαθητὰς

book 4.5 τοὺς ὡραίους, οὓς ἀναβαίνειν ἐπὶ τοὺς ἵππους μελετᾷ Φείδων καὶ καταβαίνειν. οἶσθ’ οὓς

book 4.6 φράζω; τούτοις

book 4.7 τοίνυν ἄγγελλ’ ὅτιὴ[ln_10]ψυχρὸν

book 4.8 τοὔψον, τὸ ποτὸν θερμόν, ξηρὸν φύραμ’, ἄρτοι ξηροί· σπλάγχν’ ὀπτᾶται, χναῦμ’ ἥρπασται, κρέας ἐξ ἅλμης ἐξῄρηται, τόμος ἀλλᾶντος, τόμος ἠνύστρου,[ln_15]χορδῆς ἕτερος, φύσκης ἕτερος διαλαιμοτομεῖθ’ ὑπὸ τῶν ἔνδον. κρατὴρ ἐξερροίβδητ’ οἴνου· πρόποσις

book 4.9 χωρεῖ· λέπεται κόρδαξ· ἀκολασταίνει νοῦς μειρακίων·

book 4.1 [ln_20]πάντες δ’ ἔνδον τὰ κάτωθεν ἄνω. μέμνης’ ἃ λέγω, πρόσεχ’ οἷς

book 4.2 φράζω. χάσκεις οὗτος; βλέψον δευρί· πῶς αὐτὰ φράσεις; αὐτίκ’ ἐρῶ σοι πάλιν ἐξ ἀρχῆς. [ln_25]ἥκειν ἤδη καὶ μὴ μέλλειν, τῷ τε μαγείρῳ μὴ λυμαίνεσθ’, ὡς τῶν ὄψων ἐφθῶν ὄντων,

ὀπτῶν ὄντων, ψυχρῶν ὄντων, καθ’ ἕκαστα λέγων· βολβός, ἐλάα,[ln_30]σκόροδον, καυλός, κολοκύντη, ἔτνος, θρῖον, φυλλάς· θύννου

book 4.3 τεμάχη, γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου, φοξῖνος ὅλος, κορακῖνος ὅλος, μεμβράς, σκόμβρος,

book 4 [ln_35]θυννίς, κωβιός, ἠλακατῆνες, κυνὸς οὐραῖον τῶν καρχαριῶν, νάρκη, βάτραχος, πέρκη, σαῦρος, τριχίας, φυκίς, βρίγκος, τρίγλη, κόκκυξ, τρυγών, σμύραινα, φάγρος,[ln_40]μύλλος, λεβίας, σπάρος, αἰολίας, θρᾷττα, χελιδών, καρίς, τευθίς, ψῆττα, δρακαινίς, πουλυπόδειον, σηπία, ὀρφώς, κάραβος, ἔσχαρος, ἀφύαι, βελόναι,[ln_45]κεστρεύς, σκορπίος, ἔγχελυς, ἄρκτος. κρέα τ’ ἄλλα (τὸ πλῆθος ἀμύθητον) χηνός, χοίρου, βοός, ἀρνός, οἰός, κάπρου, αἰγός, ἀλεκτρυόνος, νήττης, κίττης, πέρδικος, ἀλωπεκίου.

book 4.1 καὶ μετὰ δεῖπνον θαυμαστὸν ὅς’ ἔστ’ ἀγαθῶν

book 4.2 πλήθη. πᾶς δὲ κατ’ οἴκους μάττει, πέττει, τίλλει, κόπτει, τέμνει, δεύει, χαίρει, παίζει, πηδᾷ, δειπνεῖ,[ln_55]πίνει, σκιρτᾷ, λορδοῖ, κεντεῖ [βινεῖ]. σεμναὶ δ’ αὐλῶν ἀγαναὶ φωναί, μολπὰ κλαγγὰ θράττει, [νεῖται] πνεῖται. κούραν κασίας ἀπὸ γᾶς ἁγίας ἁλίας

book 4.3 Συρίας[ln_60]ὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ λιβάνου, μάρου, σμύρνης, καλάμου, στύρακος, βάρου, λίνδου, κίνδου, κισθοῦ, μίνθου. τοιάδε δόμους ὁμίχλη κατέχει[ln_65]πάντων ἀγαθῶν ἀνάμεστος.

book 7.1 ἆρ’ οἶσθα, ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μαχητέον, οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα, ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν;[ln_5]ἐντεῦθεν εὐθὺς ἐπιφέρει

book 7.2 τραγήματα ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικάς, ὥσπερ ἐρεβίνθους, δορατίων

book 7.3 τε λείψανα κατεαγότ’, ἀσπίδας δὲ προσκεφάλαια καὶ θώρακας ἔχομεν, πρὸς

book 7.4 ποδῶν δὲ σφενδόνας[ln_10]καὶ τόξα, καταπέλταισι δ’ ἐστεφανώμεθα.

book 8.1 τῶν

book 8.2 Φαρσαλίων

book 8.1 [spk_β]ἥκει

book 8.2 τις, ἵνα καὶ τὰς

book 8.3 τραπέζας καταφάγῃ; Β. οὐδεὶς πάρεστιν. Α. εὖ γε δρῶντες· ἆρά που ὀπτὴν κατεσθίουσι πόλιν Ἀχαιικήν;

book 9.1 καὶ τὸ λεγόμενον

book 9.2 σπανιώτερον πάρεστιν ὀρνίθων γάλα, καὶ φασιανὸς ἀποτετιλμένος καλῶς.

book 10.1 οὐκ ἀλλὰ καὶ τῆς νυκτός ἐστι Δωρίων ἔνδον

book 10.2 παρ’ ἡμῖν λοπαδοφυσητής.

book 11 ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org